www.tezaurliturgic.ro


Ὑπό μοναχοῦ Δαμασκηνοῦ Γρηγοριάτου

# ΙΕΡΑ ΠΑΡΑΚΛΗΣΙΣ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΜΟΝΙΚΑ

## ΜΗΤΕΡΑ ΤΟΥ ΑΓΙΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

**2008**



**Εὐλογήσαντος τοῦ Ἱερέως, λέγομεν τόν παρόντα Ψαλμόν**

## ΨΑΛΜΟΣ 142

**Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος, καί ἠκηδίασεν ἐπ᾽ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σέ τάς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου. Μή ἀποστρέψῃς τό πρόσωπόν σου ἀπ᾽ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τό πρωΐ τό ἔλεός σου, ὅτι ἐπί σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός σέ κατέφυγον δίδαξόν με τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μου. Τό πνεῦμα σου τό ἀγαθόν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου, καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλος σου εἰμί.**

**Καί εὐθύς τό: Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν...μετά τῶν στίχων αὐτοῦ ἐξ ἑκατέρων τῶν Χορῶν.**

**Εἶτα τά παρόντα τροπάρια. Ἦχος δ' Ὁ ὑψωθείς...**

**Τῶν νεανίδων γυναικῶν τε ἐγγάμων, ὁ εὐσεβής καί πολυάριθμος δῆμος, μετά χαρᾶς προσέλθομεν βοῶντες θερμῶς, Μόνικα πανσέβαστε, τῶν μητέρων τό κλέος, δέησιν προσάγαγε, τῷ Υἱῷ τῆς Παρθένου, ἀπαλλαγῆναι νόσων χαλεπῶν καί τῶν ἐν βίῳ οἰκτρῶν περιστάσεων.**

**Δόξα Πατρί...Τό αὐτό. Καί νῦν....τό ἑξῆς:**

**Οὐ σιωπήσομεν ποτέ Θεοτόκε, τάς δυναστείας σου, λαλεῖν οἱ ἀνάξιοι, εἰμή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σούς γάρ δούλους σώζεις ἀεί ἐκ παντοίων δεινῶν.**

## Τόν Ν' Ψαλμόν

Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου. Ἐπί πλεῖον πλῦνόν με ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διά παντός. Σοί μόνω ἥμαρτον καί τό πονηρόν ἐνώπιόν σου ἐποίησα ὅπως ἄν δικαιωθῆς ἐν τοῖς λόγοις σου καί νικήσης ἐν τῶ κρίνεσθαί σε. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας τά ἄδηλα καί τά κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ραντιεῖς με ὑσσώπω καί καθαρισθήσομαι πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν σου ἀπό τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψης με ἀπό τοῦ προσώπου σου καί τό πνεῦμα σου τό ἅγιόν σου μή ἀντανέλης ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου σου καί πνεύματι ἡγεμονικῶ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς σου καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσιν. Ρῦσαί με ἐξ αἱμάτων ὁ Θεός ὁ Θεός τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τήν δικαιοσύνην σου. Κύριε τά χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῶ Θεῶ πνεῦμα συντετριμμένον καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουθενώσει. Ἀγάθυνον Κύριε ἐν τῆ εὐδοκία σου τήν Σιών καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλημ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφοράν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν σου μόσχους

## Καί ἀρχόμεθα τοῦ Κανόνος

## Ὠδή α' Ἦχος πλ. Δ Ὑγράν...

**Τροφόν Αὐγουστίνου τοῦ ἱεροῦ, θεοσεβεστάτην καί μητέρα πανευκλεῆ, Μόνικαν τιμήσωμεν πάντες, ὡς τῶν μητέρων παγκόσμιον καύχημα.**

**Ὁσίων μητέρων ὁ ὁρμαθός καί παρθενευόντων ἡ ὁμήγυρις νεαρῶν, προσπέσατε τῇ ἐνδοξοτάτῃ, καί δυσχερείας τοῦ βίου προσείπατε.**

**Δακρύων τοῖς ὄμβροις καί στεναγμοῖς, Μόνικα ὁσία, καθικέτευσας τῷ Χριστῷ, εὑρεῖν ὁ υἱός σου θεραπείαν καί ἐκ δεινῶν ἀκολάστων τήν λύτρωσιν.**

**Θεοτοκίον**

**Παρθένε πανύμνητε Μαριάμ, ὡς τέξασα πάλαι, τόν Σωτῆρα καί Λυτρωτήν, τοῦ γένους ἁπάντων τῶν ἀνθρώπων, ἐπιλαβοῦ τῆς ἐμῆς καταστάσεως.**

## Ὠδή γ' Οὐρανίας ἁψῖδος

**Ταῖς εὐχαῖς σου Ὁσία, ὡς τόν Χριστόν βλέπουσα, ἐν τῇ τῶν πραέων συνάξει, πρόστηθι λέγουσα, τῶν ἐν τῷ κόσμῳ Ψυχάς, ἀνατροφήν κατεχόντων, τέκνων καί διάννοιαν τούτων ἐκλάμπρυνον.**

**Καθορῶσα ταχέως, ἐξ οὐρανοῦ Μόνικα, τάς τῆς νεολαίας ἐκρήξεις καί τήν ἀστάθειαν, δεῦρο πρεσβείαις σου, καί καθοδήγησον τούτους, ὡς ποτέ, τόν ἄστατον υἱόν σου πάνσεμνε.**

**Δίδαξόν με, ὦ Μῆτερ, τῶν εὐσεβῶν πρόμαχε, πῶς ἐπιτελεῖν ἐπαξίως ἀνατροφήν τέκνων μου, ἅ μοι νῦν ἔδωκε τῇ φιλανθρώπω προνοίᾳ, Χριστός μου καί Κύριος, θεοσυμπάθητε.**

## Θεοτοκίον

**Σύ γάρ οἶδας Παρθένε, ὡς Μήτηρ οὖσα φιλότεκνος, πῶς ἐκ πειρασμῶν καί παγίδων, τύχωμεν ἅπαντες, θείας λυτρώσεως καί παροχήν βοηθείας, δός ἡμῖν τοῖς δούλοις σου, Θεοχαρίτωτε.**

**Ἀπάλλαξον, ἐκ δυσωδίας παθῶν ἀκαθάρτων ὁσία, τούς ἐν πίστει ἀκαταισχύντῳ νῦν καταφεύγοντας, ὡς οὖσα τῆς χάριτος μυροθήκη. Ἐπίβλεψον, ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.**

**Ἱερεύς**

- Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καί ἐλέησον. Κύριε ἐλέησον (3)
- Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Κύριε ἐλέησον (3)
- Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῆ (κώμη, πόλει) ταύτη, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Κύριε ἐλέησον (3)
- Ἔτι δεόμεθα ὑπέρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).
- Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καῖ τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## Κάθισμα. Ἦχος Β' *Τά ἄνω ζητῶν.*

**Τῷ ὅπλῳ, Σεμνή, τῆς πίστεως, κατέφυγες, καί ζήλῳ εὐχῆς, Θεῷ τῷ παντοκράτορι, Αὐγουστῖνον διέσωσας, ἐξ ἐχθρῶν ἀοράτων καί ὥδευσεν, εἰς Ἐκκλησίας τάς ἐπιταγάς, λόγοις Ἀμβροσίου τοῦ θεόφρονος.**

## Ὠδή δ' Εἰσακήκοα Κύριε.

Τῶν μητέρων ἀγλάϊσμα καί τῶν νεανίδων ἐδείχθης πρότυπον, ὡς Χριστόν θερμῶς ἠγάπησας καί Αὐτῶ ἐλπίδι σου προσέφυγες.

Ἱκετεύομεν Μόνικα, σέ ἐν παρρησίᾳ, Θεῶ προσμένουσα, ἐμῶν παίδων χειραγώγησιν, καί καρδίας θέρμην καλλιπάρθενε.

Καταφύγιον ἄριστον, καί τῶν συμφορῶν ὑπάρχεις διάσωσμα, ἀρετῶν σου ἐπιδείξεσιν, καί εὐχαῖς συντόνοις σου πρός Κύριον.

## Θεοτοκίον

Ταπεινώσεως ἔνδυμα, Μόνικα Ὁσία βίῳ σου ἅπαντι, ἐνδυθεῖσα τόν Φιλάνθρωπον, ἔργοις τε παντοίοις εὐηρέστησας.

## Ὠδή Ε' Φώτισον ἡμᾶς.

Δίδαξον ἡμᾶς, διδαχαῖς τῆς πολιτείας σου, ἀκραιφνῶς ἐπιτελεῖν τάς ἐντολάς, ἐμῶν Πατέρων, οὕς εὐχαῖς σου διαφύλαξον.

Χαίρει ἐπί γῆς, Ἐκκλησία τοῦ Παντάνακτος, ὡς λαμπρυνθεῖσα τῆ σῆ χάριτι, Μόνικα Μῆτερ, τῶν μητέρων παραμύθιον.

Δάκρυσι πολλοῖς, νυχθημέρως καταφεύγουσα, καί Χριστοῦ τούς πόδας πλύνασα, ἔσχες υἱοῦ σου, Αὐγουστίνου τήν μετάνοιαν.

## Θεοτοκίον

Πρόφθασον Σεμνή, ἀρωγαῖς τῆς προμηθείας σου, καί φωτισμῶ ἡμᾶς τοῦ Πνεύματος, φωταγωγοῦσα, πρός Υἱόν σου νῦν προσδράμωμεν.

## Ὠδή ΣΤ' Τήν δέησιν...

**Μητέρων καί εὐσεβῶν κορασίδων, σύ ὑπάρχεις νουνεχής παρουσία, ὡς διανοίᾳ λαμπρῶς καθαρθεῖσα, καί φωταυγείαις σῶν λόγων ἐτράνωσας, υἱοῦ σου τήν θεοτερπῆ κοινωνίαν ἐν Θείῳ τῶ Πνεύματι.**

**Δυνάμει, τῆς ἰσχυρᾶς πρεσβείας σου, ἀποκάμνοντα ἐν ἔργοις θανάτου, καί τοῖς κρουννοῖς ἀστειρεύτων δακρύων, ἐπιλαβοῦ τῆς ἐμῆς ἀπογνώσεως, κατέχεις Μόνικα Σεμνή, ὁπλισμόν θεϊκῆς ἐπιγνώσεως.**

**Κραυγάζω σοι, διηνεκῶς, Πανοσία, ἀφορήτοις λογισμοῖς πληγωθεῖσα, τῆ πανσθενῆ παρρησίᾳ εὐχῶν σου, ἔρχου καί παῦσον παθῶν μου κλυδώνιον, οὐκ ἔχω ποῦ καταφυγεῖν, ἐπί σέ γάρ μητέρων ὡραΐσμα.**

## Θεοτοκίον

**Ἐπίβλεψον, Θεομακάριστε Κόρη, καί Σωτῆρος Θεονύμφευτε Μήτηρ, εἰς τάς ἡμῶν οἰμωγάς καί συγχύσεις, καί δυναστείαις εὐχῶν σου, ἀπάλλαξον, ἐκ τρικυμίας χαλεποῦς, τούς ἡμᾶς ἀεννάως προστρέχοντας.**

**Θεράπευσον, εὐσεβεστάτη μητέρων κυρία, ἀλγηδόνας καί πειρασμῶν ἐφόδους διάλυσον, ὡς ἐν κόσμῳ σκληρῶς δοκιμασθεῖσα.**

**Ἄχραντε, ἡ διά λόγου τόν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικήν παρρησίαν.**

Ὁ ἱερεύς μνημονεύει, ὡς δεδήλωται.

Ἱερεύς

- Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καί ἐλέησον. Κύριε ἐλέησον (3)
- Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καί πάσης τῆς ἐν Χριστῶ ἡμῶν ἀδελφότητος. Κύριε ἐλέησον (3)
- Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῆ (κώμη, πόλει) ταύτη, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδορομητῶν καί ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Κύριε ἐλέησον (3)
- Ἔτι δεόμεθα ὑπέρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).
- Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῶ Πατρί καῖ τῶ Υἱῶ καί τῶ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετά τήν ἐκφώνησιν, Κοντάκιον, Ἦχος Β΄Προστασία...

Ἱεράρχου Αὐγουστίνου γεννήτριαν, καί ἐν βίῳ Χριστοῦ σοφήν ἀναμορφώτριαν, ἐπαινέσωμεν Μόνικαν, ἐν ὕμνοις καί ᾠδαῖς, ὅτι πλήρης οὖσα ἀρετῶν, καί προσευχαῖς διηνεκῶς, τόν βελίαρ ἐτρόπωσε. Ὅθεν γονυπετοῦσα καί ὄμβροις αὐτῆς δακρύων, γέγονε Πνεύματος φωστήρ καί ἡμῶν τό καταφύγιον.

**Α' Ἀντίφωνον**

**Ἦχος δ'**

**Ἐκ νεότητός μου, πολλά πολεμεῖ με πάθη, ἀλλ᾽ αὐτός ἀντιλαβοῦ, καί σῶσον, Σωτήρ μου. (δίς)**

**Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπό τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρί ἔσεσθε ἀπεξηραμμένοι. (δίς)**

**Δόξα...**

**Ἁγίω Πνεύματι, πᾶσα ψυχή ζωοῦται, καί καθάρσει ὑψοῦται, λαμπρύνεται τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.**

**Καί νῦν...**

**Ἁγίω Πνεύματι, ἀναβλύζει τά τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τήν κτίσιν, πρός ζωογονίαν.**

**Προκείμενον**

**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ. (τρίς)**
**Στίχος: Τό ἀνταποδώσωμεν τῷ Κυρίῳ, περί πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.**
**Ἱερεύς: Καί ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τόν Θεόν ἡμῶν ἱκετεύσωμεν.**
**Χορός Κύριε, ελέησον (γ').**
**Ἱερεύς: Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.**
**Ἱερεύς: Εἰρήνη πᾶσι.**
**Χορός: Καί τῷ Πνεύματί σου.**
**Ἱερεύς: Ἐκ τοῦ κατά Λουκῶν ἁγίου Εὐαγγελίου...**
**Ἱερεύς Πρόσχωμεν.**
**Χορός:: Δόξα σοι, Κύριε, δόξα σοι.**

**Τῷ καιρῷ ἐκείνῳ, ἠρώτα τις τῶν Φαρισαίων τόν Ἰησοῦν, ἵνα φάγῃ μετ᾽ αὐτοῦ καί εἰσελθών εἰς τήν οἰκίαν τοῦ Φαρισαίου, ἀνεκλίθη. Καί ἰδού γυνή ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός, ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν οἰκίᾳ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καί στᾶσα παρά τούς πόδας αὐτοῦ ὀπίσω κλαίουσα, ἤρξατο βρέχειν τούς πόδας αὐτοῦ τοῖς δάκρυσι, καί ταῖς θριξί τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καί κατεφίλει τούς πόδας αὐτοῦ, καί ἤλειφε μύρῳ. Ἰδών δέ ὁ Φαρισαῖος ὁ καλέσας αὐτόν, εἶπεν ἐν ἑαυτῷ λέγων. Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἄν, τίς καί ποταπή ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. Καί ἀποκριθείς ὁ Ἰησοῦς, εἶπε πρός αὐτόν. Σίμων, ἔχω σοί εἰπεῖν. Ὁ δέ φησι, Διδάσκαλε, εἰπέ. Δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι. Ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δέ ἕτερος πεντήκοντα. Μή ἐχόντων δέ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν, εἰπέ, πλεῖον αὐτόν ἀγαπήσει; Ἀποκριθείς δέ ὁ Σίμων, εἶπεν. Ὑπολαμβάνω ὅτι, ᾧ τό πλεῖον ἐχαρίσατο. Ὁ δέ εἶπεν αὐτῷ. Ὀρθῶς ἔκρινας. Καί στραφείς πρός τήν γυναῖκα, τῷ Σίμωσι ἔφη. Βλέπεις ταύτην τήν γυναῖκα; Εἰσῆλθον σου εἰς τήν οἰκίαν, ὕδωρ ἐπί τούς πόδας μου οὐκ ἔδωκας, αὕτη δέ τοῖς δάκρυσιν ἔβρεξέ μου τούς πόδας, καί ταῖς θριξί τῆς κεφαλῆς ἐξέμαξε. Φίλημά μοι οὐκ ἔδωκας, αὕτη δέ, ἀφ᾽ ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τούς πόδας. Ἐλαίῳ τήν κεφαλήν μου οὐκ ἤλειψας, αὕτη δέ μύρῳ ἤλειψέ μου τούς πόδας. Οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ, ᾧ δέ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. Εἶπε δέ αὐτῇ. Ἀφέωνταί σου αἱ ἁμαρτίαι. Καί ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἑαυτοῖς. Τίς οὗτος ἐστιν, ὅς καί ἁμαρτίας ἀφίησιν; Εἶπε δέ πρός τήν γυναῖκα. Ἡ πίστις σου σέσωκέ σε πορεύου εἰς εἰρήνην.**

### Δόξα... Ἦχος β'

**Πάτερ, Λόγε, Πνεῦμα, Τριάς ἡ ἐν Μονάδι, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.**

### Καί νῦν...

**Ταῖς τῆς Θεοτόκου, πρεσβεῖαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.**

**Στίχ. Ἐλεησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.**

## Ἦχος πλ. β' Ὅλην ἀποθέμενοι

**Θεοφόρε Μόνικα, καί ἱεροῦ Αὐγουστίνου, ἱερόν καλλώπισμα, καί μητέρων ἔνθεον ἐπισφράγισμα, δός ἡμῖν δύναμιν, χάριτος τό φέγγος, καί ἀγάπης τήν τερπνότητα, ὅπως ἐν δάκρυσιν, θερμῶς ἱκετεύσω τόν Ἄνακτα, διά παίδων μου διόρθωσιν καί ἐμοῦ μετάνοιαν ἔμπρακτον. Ὅθεν σέ προστάτην, ἐλπίδα καί βοήθειαν ἐμοῦ, πανευπρεπῶς μεγαλύνω σε, μήτηρ θεοδόξαστε.**

## Ἕτερα Θεοτοκία

**Οὐδείς προστρέχων ἐπί σοί, κατησχυμένος ἀπό σοῦ ἐκπορεύεται, ἁγνή Παρθένε Θεοτόκε, ἀλλ᾽ αἰτεῖται τήν χάριν, καί λαμβάνει τό δώρημα, πρός τό συμφέρον τῆς αἰτήσεως.**

**Ἱερεύς:** Σῶσον, ὁ Θεός, τόν λαόν σου, καί εὐλόγησον τήν κληρονομίαν σου. Ἐπίσκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοῖς. Ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καί κατάπεμψον ἐφ᾽ ἡμᾶς τά ἐλέη σου τά πλούσια. Πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας. Δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου προδρόμου καί βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων, καί πανευφήμων Ἀποστόλων. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καί Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας: Νικολάου τοῦ ἐν Μύροις τῆς Λυκίας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καί Νεκταρίου Πενταπόλεως, τῶν θαυματουργῶν. Τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος, καί Θεοδώρου τοῦ Στρατηλάτου καί Μηνᾶ τοῦ θαυμαρτουργοῦ, τῶν ἱερομαρτύρων Χαραλάμπους καί Ἐλευθερίου,τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Κυριακῆς Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καί Εἰρήνης, τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων, τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν, (ναοῦ), τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης, (τῶν Ἁγίων τῆς ἡμέρας), καί πάντων σου τῶν Ἁγίων, ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καί ἐλέησον ἡμᾶς.

**Χορός** Κύριε, ελέησον **(ιβ')**

**Ιερεύς** Ἐλέει, καί οἰκτιρμοῖς, καί φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ Παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. **Χορός** Αμήν.

## Ὠδή ζ΄Οἱ ἐκ τῆς Ἰουδαίας...

**Διά πλήθους ἐλέους, καί εὐχαῖς σου παννύχοις, Μόνικα, ἔσωσας, ἐκ τῆς ἀκολασίας, υἱόν ἠγαπημένον, καί εἰς πίστιν ἀλάνθαστον, ταῖς Ἀμβροσίου εὐχαῖς προσῆλθεν θεοφρόνως.**

**Ἀκαμάτοις σου κόποις, καί δακρύων τοῖς ρείθροις τόν Ὑπεράγαθον, ἱκέτευσας ἀτρέπτως, τυχεῖν τοῦ ποθουμένου, Αὐγουστίνου τήν ἄρνησιν, τῶν ἐγκοσμίων κακῶν καί λάτρην μετανοίας.**

**Ταπεινώσεως πλοῦτον, κοσμηθεῖσα ἀφθόνως, ὁσίων καύχημα καί πλοῦτος τῶν γυναίων, ἀνάλωτος ὑπάρχεις, διό πᾶσαι βοῶμεν σοι. Ὁ τῶν Μητέρων πασῶν, ὑπάρχεις ὑπερτέρα.**

## Θεοτόκε

**Ἐξάλειψον Παρθένε, τῇ σῇ σκέπῃ παθῶν μου τήν ἀγανάκτησιν, καί ἔργοις μετανοίας, ἐν πίστει ἀδιστάκτῳ, προσελθών με χαρίτωσον, ἵνα ὑμνῶ σέ ἀεί, καρδίᾳ εὐγνωμόνῳ.**

## Ὠδή Η΄ Τόν Βασιλέα.

**Τῆς Ἐκκλησίας, ἀναλαβοῦσα τό στέφος, σωφροσύνης, ἀνδρείας τό τρόπαιον, ὡς κατακαυθεῖσα δακρύων σου καμίνῳ.**

**Δέξου, ὦ Μῆτερ, τάς παρακλήσεις σῶν δούλων, καί προσάγαγε πόθῳ τῷ Κτίστῃ, ἵνα εὐφροσύνης γέμει ἡμῶν ὁ βίος.**

**Δίωξον μάκαρ, τάς προσβολάς τῶν δαιμόνων, καί ἀπόπνιξον πλήθη παθῶν μου, δακρύων πελάγη, Μόνικα δοξασμένη.**

## Θεοτοκίον

**Σύ Θεομῆτορ, ὡς κεκτημένη ἀπαύστως, παρρησίαν Θεῷ τῷ Υἱῷ σου, μνήσθητι πάντων ἡμῶν τῶν σέ ὑμνούντων.**

## Ὠδή Θ΄ Ὁ Εἱρμός...

**Αἱ ὅσιαι μητέρες, πάντων τῶν Ἁγίων, σύν ταῖς εὐχαῖς τῆς μητρός ἡμῶν Μόνικας, πανευσεβῶς τόν Δεσπότην ἡμῶν πρεσβεύσατε.**

**Ἐλθέ διᾶ τῶν εὐχῶν σου, Μόνικα ὁσία, εἰς τάς καρδίας ἡμῶν τῶν βοώντων σοι, καί ἀπό πάσης ἐκλύτρωσαι περιστάσεως.**

**Στενάζουσιν Ὁσία Μόνικα θεόφρον, οἱ τῆς Πατρίδος ἡμῶν τά βλαστήματα, εἰς σωτηρίαν σύ τούτους ὁδήγησον.**

## Θεοτοκίον

**Θερμῶς παρακαλοῦμεν, ἐκ πάσης καχεξίας, τά τῶν μητέρων συστήματα εὔφρανον, τῇ προμηθεῖ ἀρωγῇ σου, Θεοχαρίτωτε.**

## Μεγαλυνάρια

**Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον, καί Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ, καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον, σέ μεγαλύνομεν.**

**Δεῦτε ἐν δακρύων τοῖς ὀχετοῖς, προσδράμωμεν πίστει, ἱκετεύοντες ἀκλινῶς, Μόνικαν Μητέρα, ἁγίου Αὐγουστίνου καί τῶν μητέρων πάντων τό ἐγκαλλώπισμα.**

**Παράσχου, Ὁσία, μητροπρεπῶς, ἡμῖν τοῖς ἐκ πόθου καταφεύγουσι δαψιλῶς, χάριτος τά νέφη καί θείας ἐπιλάμψεις, ὅπως ἐν παρρησίᾳ Θεῷ προσδράμωμεν.**

**Ὡς οὖσα ἐν δόξῃ ἐν οὐρανοῖς, καί ἔχουσα πλοῦτον θεαρέστων σου ἀγαθῶν, σκέπασον Ὁσία ἡμᾶς σῇ μεσιτείᾳ, τῶν γυναικῶν ἁπάντων τό ἐνδιαίτημα.**

**Σκιρτῶμεν ἐνθέως διά τήν σήν, Μόνικα ὁσία, πολιτείαν σου θεϊκήν, δι᾽ ἧς τόν Βασιλέα ἁπάντων καί Δεσπότην κατηύφρανας καί ἤχθης εἰς τά οὐράνια.**

**Σκέπασον πάντας τούς εὐλαβῶς, τιμῶντας Ὁσία, τήν ἁγίαν σου ἑορτήν καί δός αὐτοῖς πλουσίως, πληθύν θησαυρισμάτων καί θείας μετανοίας τήν ἀνταπόδοσιν.**

**Καταύγασον ἔργοις σου θαυμαστοῖς, ἡμῶν διανοίας, καί ἐξώρισον εὐσθενῶς, δαιμόνων παρατάξεις καί λογισμῶν ἐπάρσεις, ὅπως ἀεί τιμῶμεν, σοῦ τά θαυμάσια.**

**Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τό σωθῆναι ἡμᾶς.**

Τρισάγιον

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ')

Δόξα... Καί νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.
Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καί νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον, καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.
Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία... Ἀμήν.

Ἦχος πλ. β'

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα...

Κύριε, ἐλέησον ἡμᾶς, ἐπί σοί γάρ πεποίθαμεν, μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ᾽ ἐπίβλεψον καί νῦν, ὡς εὔσπλαγχνος, καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, σύ γάρ εἶ Θεός ἡμῶν, καί ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καί τό ὄνομά σου ἐπικεκλήμεθα.

Καί νῦν...

**Τῆς εὐσπλαγχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σέ, μή ἀστοχήσωμεν, ρυσθείημεν διά σοῦ τῶν περιστάσεων, σύ γάρ εἰ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.**

- **Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καί ἐλέησον. Κύριε ἐλέησον (3)**
- **Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καί πάσης τῆς ἐν Χριστῶ ἡμῶν ἀδελφότητος. Κύριε ἐλέησον (3)**
- **Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῆ (κώμη, πόλει) ταύτη, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Κύριε ἐλέησον (3)**
- **Ἔτι δεόμεθα ὑπέρ τῶν δούλων τοῦ Θεοῦ, (ὀνόματα).**
- **Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῶ Πατρί καί τῶ Υἱῶ καί τῶ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**
- **Ἔτι δεόμεθα ὑπέρ τοῦ διαφυλαχθῆναι τήν ἁγίαν Ἐκκλησίαν καί τήν πόλιν ταύτην, καί πᾶσαν πόλιν καί χώραν ἀπό ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καί αἰφνιδίου θανάτου, ὑπέρ τόν ἵλεων, εὐμενῆ καί εὐδιάλακτον, γενέσθαι τόν ἀγαθόν καί φιλάνθρωπον Θεόν ἡμῶν, τοῦ ἀποστρέψαι καί διασκεδάσαι πᾶσαν ὀργήν καί νόσον, τήν καθ᾽ ἡμῶν κινουμένην καί ρύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καί ἐλέησαι ἡμᾶς. Κύριε, ἐλέησον. (3)**
- **Ἔτι δεόμεθα καί ὑπέρ τοῦ εἰσακοῦσαι Κύριον τόν Θεόν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καί ἐλεῆσαι ἡμᾶς. Κύριε, ελέησον. (3)**
- **Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτήρ ἡμῶν, ἡ ἐλπίς πάντων τῶν περάτων τῆς γῆς καί τῶν ἐν θαλάσση μακράν καί ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπί ταῖς ἁμαρτίαις ἡμῶν, καί ἐλέησον ἡμᾶς. Κύριε, ἐλέησον. (3)**
- **Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις καί σοί τήν δόξαν ἀναπέμπομεν τῶ Πατρί καί τῶ Υἱῶ καί τῶ Ἁγίῳ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

**Δόξα σοι ὁ Θεός, ἡ ἐλπίς ἡμῶν, Κύριε, δόξα Σοι.**

**Χριστός ὁ ἀληθινός Θεός ἡμῶν ταῖς πρεσβείαις τῆς Παναχράντου καί Παναμώμου Ἁγίας Αὐτού Μητρός, δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου, τῶν Ἁγίων, ἐνδόξων και πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων, τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν, (τοῦ Ναοῦ) τῶν ἁγίων καί δικαίων**

**θεοπατόρων Ἰωακείμ καί Ἄννης, (τῆς ἡμέρας) καί πάντων τῶν Ἁγίων, ἐλεῆσαι καί σῶσαι ἡμᾶς, ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός.**

**Ήχος β' Ότε εκ τού ξύλου**

**Πᾶσαι αἱ μητέρων εὐσεβῶν καί τῶν νεανίδων χορεῖαι, δεῦτε προσπέσωμεν νῦν, ἱεράρχου μάκαρος τοῦ Αὐγουστίνου Μητρί, καί ἐν πίστει κραυγάσωμεν, Μόνικα ὁσία, σπεῦσον ταῖς πρεσβεῖαις σου, σκέπε καί φρούρει ἡμᾶς. Κλαῦσον τῷ Θεῷ ἀεννάως, ὅπως νεολαίας τά στίφη, δέξωνται χαρίτων ἐνεργήματα.**

**Ήχος πλ. δ'**

**Δέσποινα, πρόσδεξαι τάς δεήσεις τών δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.**

**Ήχος β'**

**Τήν πᾶσαν ἐλπίδα μου εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.**

**ΑΓΙΑ ΜΟΝΙΚΑ, ΜΗΤΗΡ ΤΟΥ ΥΙΟΥ ΤΩΝ ΔΑΚΡΥΩΝ ΠΡΕΣΒΕΥΕ ΥΠΕΡ ΗΜΩΝ ΤΩΝ ΑΜΑΡΤΩΛΩΝ**

**26-12-2008 Μον. Δ.**

.